Cours de littérature grecque
Semestre d'automne 2023
**Chanter la victoire : Pindare, Simonide et Bacchylide**
Lectures en marge du cours de littérature n° 1

**Pindare, *Isthmique* 1.1-17**
Épinicie pour un Thébain, Hérodote, qui a lui-même conduit son char à la victoire.

Μᾶτερ ἐμά, τὸ τεόν, χρύσασπι Θήβα,
πρᾶγμα καὶ ἀσχολίας ὑπέρτερον
θήσομαι. μή μοι κραναὰ νεμεσάσαι
Δᾶλος, ἐν ᾇ κέχυμαι.
τί φίλτερον κεδ᾽νῶν τοκέων ἀγαθοῖς;
εἶξον, ὦ Ἀπολλωνιάς· ἀμφοτερᾶν
  τοι χαρίτων σὺν θεοῖς ζεύξω τέλος,

καὶ τὸν ἀκερσεκόμαν Φοῖβον χορεύων
ἐν Κέῳ ἀμφιρύτᾳ σὺν ποντίοις
ἀνδράσιν, καὶ τὰν ἁλιερκέα Ἰσθμοῦ
δειράδ᾽· ἐπεὶ στεφάνους
ἓξ ὤπασεν Κάδμου στρατῷ ἐξ ἀέθλων,
καλλίνικον πατρίδι κῦδος. ἐν ᾇ
  καὶ τὸν ἀδείμαντον Ἀλκμήνα τέκεν

παῖδα, θρασεῖαι τόν ποτε Γηρυόνα φρῖξαν κύνες.
ἀλλ᾽ ἐγὼ Ἡροδότῳ τεύ-
  χων τὸ μὲν ἅρματι τεθρίππῳ γέρας,
ἁνία τ᾽ ἀλλοτρίαις οὐ χερσὶ νωμάσαντ᾽ ἐθέλω
ἢ Καστορείῳ ἢ Ἰολάοι᾽ ἐναρμόξαι νιν ὕμνῳ.
κεῖνοι γὰρ ἡρώων διφρηλάται Λακεδαίμονι καὶ
  Θήβαις ἐτέκνωθεν κράτιστοι (…)